# ΚΥΡΙΑΚΗ Ε′ ΝΗΣΤΕΙΩΝ

## Μαρία, ἡ Αἰγυπτία, ὁσία

**Ἀπολυτίκιον.** Ἦχος πλ. α′.
Τὸν συνάναρχον Λόγον.

Φωτισθεῖσα ἐνθέως Σταυροῦ τῇ χάριτι, τῆς Μετανοίας ἐδείχθης φωτοφανὴς λαμπηδών, τῶν παθῶν τὸν σκοτασμόν, λιποῦσα πάνσεμνε· ὅθεν ὡς ἄγγελος Θεοῦ, Ζωσιμᾷ τῷ ἱερῷ, ὡράθης ἐν τῇ ἐρήμῳ, Μαρία Ὁσία Μῆτερ· μεθ᾽ οὗ δυσώπει ὑπὲρ πάντων ἡμῶν.




*Ἱερὰ Εἰκὼν διὰ χειρὸς Μοναχοῦ Κυπριανοῦ (1961), νῦν Μητροπολίτου Ὠρωποῦ καὶ Φυλῆς († 2013), Ἱ.Μ. Ἁγίου Κυπριανοῦ Φυλῆς Ἀττικῆς.*

**Κοντάκιον.** Ἦχος δ′.
Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῆς ἁμαρτίας τὴν ἀχλὺν ἐκφυγοῦσα, τῆς Μετανοίας τῷ φωτὶ αὐγασθεῖσα, τὴν Σὴν καρδίαν ἔνδοξε προσῆξας τῷ Χριστῷ, τούτου τὴν Πανάμωμον, καὶ Ἁγίαν Μητέρα, πρέσβυν συμπαθέστατον προσενέγκασα· ὅθεν, καὶ τῶν πταισμάτων εὗρες ἀποχήν, καὶ σὺν Ἀγγέλοις ἀεὶ ἐπαγάλλεσαι.

**Ἕτερον.** Ἦχος πλ. γ′. Ἡ Παρθένος σήμερον.

Ἡ πορνείαις πρότερον μεμεστωμένη παντοίαις, Χριστοῦ νύμφη σήμερον, τῇ Μετανοίᾳ ἐδείχθης, Ἀγγέλων τὴν πολιτείαν ἐπιποθοῦσα, δαίμονας, Σταυροῦ τῷ ὅπλῳ, καταπατοῦσα· διὰ τοῦτο Βασιλείας Οὐρανοῦ ἐφάνης νύμφη Μαρία ἔνδοξε.

**Μεγαλυνάριον.**

Γύμνωσιν ἐνέγκασα καρτερῶς, αἰσχύνη ἐνδύεις, τὸν γυμνώσαντά Σε Χριστοῦ· ὅθεν ἀφθαρσίας, στολαῖς κατηγλαΐσθης, Μαρία πανοσία, Αἰγύπτου βλάστημα.

**Ἕτερον.**

Αἴγυπτον φυγοῦσα τὴν τῶν παθῶν, δάκρυσιν ἐκπλύνεις, ἁμαρτίας τὸν μολυσμόν, καὶ ἐν τῇ ἐρήμῳ τοῦ Ἰορδάνου Μῆτερ, ὡς ἄγγελος Μαρία, ὄντως ἠγώνισαι.

**Στίχοι.**

Ἀπῆρε πνεῦμα, σὰρξ ἀπεῤῥύη πάλαι.
Τὸν ὄστινον, γῆ, κρύπτε νεκρὸν Μαρίας.

## Τῇ πέμπτῃ Κυριακῇ τῶν Νηστειῶν

*(Ἑβρ. θ´ 11-14· Μάρκ. ι´ 32-45)*

**Ψάλλομεν** τὴν Ἀκολουθίαν τῆς Ὁσίας Μητρὸς ἡμῶν Μαρίας τῆς Αἰγυπτίας.

Τῆς Ὁσίας ταύτης ἡ Μνήμη τελεῖται μὲν κατὰ τὴν πρώτην Ἀπριλίου, ἐτάχθη δὲ ἡ αὐτὴ καὶ σήμερον, ἐγγίζοντος ἤδη τοῦ τέλους τῆς Ἁγίας Τεσσαρακοστῆς, πρὸς διέγερσιν τῶν ῥαθύμων καὶ ἁμαρτωλῶν εἰς Μετάνοιαν, ἐχόντων ὑπόδειγμα τὴν ἑορταζομένην Ἁγίαν.

Αὕτη δωδεκαέτις ἔτι οὖσα ἔλαβε τοὺς γονεῖς αὐτῆς καὶ ἀπελθοῦσα εἰς Ἀλεξάνδρειαν ἔζησε βίον ἄσωτον 17 ἔτη. Εἶτα ὑπὸ περιεργίας κινουμένη, ἀπῆλθε μετὰ πολλῶν ἄλλων Προσκυνητῶν εἰς Ἱεροσόλυμα, ἵνα πορευθῇ εἰς τὴν τοῦ Τιμίου Σταυροῦ Ὕψωσιν, ὅπου ἐδόθη εἰς πᾶν εἶδος ἀκολασίας καὶ πολλοὺς ἔσυρεν εἰς τῆς ἀπωλείας τὸν βυθόν. Θέλουσα δὲ εἰσελθεῖν εἰς τὸν Πανίερον Ναὸν τῆς Ἀναστάσεως, καθ᾽ ἣν ἡμέραν ὑψοῦται ὁ Σταυρός, ᾐσθάνθη τρὶς καὶ τετράκις δύναμίν τινα ἀόρατον, κωλύουσαν αὐτὴν τῆς εἰσόδου, ἐνῷ τὸ μετ᾽ αὐτῆς πλῆθος τοῦ λαοῦ ἀνεμποδίστως εἰσήρχετο. Πληγεῖσα οὖν τὴν καρδίαν ἐκ τούτου, ἀπεφάσισεν ἵνα μεταβάλῃ ζωὴν καὶ ἐξιλεώσῃ τὸν Θεὸν διὰ Μετανοίας, ἐκζητήσασα τὴν Θεομητορικὴν συμμαχίαν· καὶ οὕτως ὑποστρέψασα πάλιν εἰς τὴν Ἐκκλησίαν, εἰσῆλθεν εὐκόλως εἰς αὐτήν. Προσκυνήσασα δὲ τὸ Τίμιον Ξύλον, ἀνεχώρησε τὴν αὐτὴν ἡμέραν ἀπὸ τῆς Ἱερουσαλήμ, διέβη τὸν Ἰορδάνην, εἰσῆλθεν εἰς τὰ ἐνδότερα τῆς Ἐρήμου, καὶ ἔζησεν ἐν αὐτῇ 47 ἔτη ζωὴν σκληροτάτην καὶ ὑπὲρ ἄνθρωπον, μόνῃ μόνῳ Θεῷ προσευχομένη. Περὶ δὲ τὰ τέλη τῆς ζωῆς, συναντήσασα Ἐρημίτῃ τινὶ Ζωσιμᾷ τὸ ὄνομα καὶ τὸν ἀπ᾽ ἀρχῆς βίον αὐτῆς διηγηθεῖσα, παρεκάλεσεν αὐτόν, ἵνα κομίσῃ αὐτῇ τὰ Ἄχραντα Μυστήρια πρὸς κοινωνίαν· ὃ καὶ ἐποίησεν ἐκεῖνος τὸ ἑπόμενον ἔτος κατὰ τὴν μεγάλην Πέμπτην. Τὸ δὲ ἐφεξῆς ἔτος ἐπανελθὼν πάλιν ὁ Ζωσιμᾶς, εὗρεν Αὐτὴν νεκρὰν ἐπὶ γῆς ἡπλωμένην καὶ γράμματα πλησίον αὐτῆς ταῦτα λέγοντα· *«Ἀββᾶ Ζωσιμᾶ, θάψον ὧδε τὸ σῶμα τῆς ἀθλίας Μαρίας. Ἀπέθανον τὴν αὐτὴν ἡμέραν, καθ᾽ ἣν ἐκοινώνησα τῶν Ἀχράντων Μυστηρίων. Εὔχου ὑπὲρ ἐμοῦ».* Τάττεται δὲ ὁ θάνατος Αὐτῆς τῷ 378 ἔτει ἢ τῷ 437 κατ᾽ ἄλλους.

❖